πεδίων ἀποδώσει τὸν καρπὸν αὐτῶν. καὶ καταλήψεται ὑμῖν ὁ ἀλοητὸς
τὸν τρυγητόν. καὶ ὁ τρυγητὸς καταλήψεται ὑμῖν τὸν σπόρον. καὶ φά-
γεσθε τὸν ἄρτον ὑμῶν εἰς πλησμονήν. καὶ κατοικήσετε μετὰ ἀ-
σφαλείας ἐπὶ τῆς γῆς ὑμῶν. καὶ δώσω εἰρήνην ἐν τῇ γῇ ὑμῶν, καὶ
κοιμηθήσεσθε, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν. καὶ ἀπολῶ θηρία πονηρὰ
ἐκ τῆς γῆς ὑμῶν. καὶ πόλεμος οὐ διελεύσεται διὰ τῆς γῆς ὑμῶν.
καὶ διώξεσθε τοὺς ἐχθροὺς ὑμῶν. καὶ πεσοῦνται ἐνώπιον ὑμῶν ἐν
φόνῳ. καὶ διώξονται ἐξ ὑμῶν πέντε ἑκατόν, καὶ ἑκατὸν ὑμῶν διώ-
ξονται μυριάδας. καὶ πεσοῦνται οἱ ἐχθροὶ ὑμῶν ἐναντίον ὑμῶν μαχαίρᾳ. καὶ ἐπιβλέ-
ψω ἐφ' ὑμᾶς, καὶ εὐλογήσω. καὶ αὐξανῶ καὶ πληθυνῶ ὑμᾶς.
καὶ στήσω τὴν διαθήκην μου μεθ' ὑμῶν. καὶ φάγεσθε παλαιὰ
παλαιῶν. καὶ παλαιὰ ἐκ προσώπου νέων ἐξοίσετε. καὶ θήσω τὴν
σκηνήν μου ἐν ὑμῖν. καὶ οὐ βδελύξεται ἡ ψυχή μου ὑμᾶς. καὶ ἐμ-
περιπατήσω ἐν ὑμῖν καὶ ἔσομαι ὑμῶν θεός. καὶ ὑμεῖς ἔσεσθέ μοι
λαός. καὶ ἐγώ εἰμι ὁ θεὸς ὑμῶν. ἐὰν δὲ μὴ ὑπακούσητέ μου, μη-
δὲ ποιήσητε τὰ προστάγματά μου ταῦτα, ἀλλὰ ἀπειθήσητε αὐτοῖς.
καὶ τοῖς κρίμασί μου προσοχθίσῃ ἡ ψυχὴ ὑμῶν, ὥστε ὑμᾶς
μὴ ποιεῖν πάσας τὰς ἐντολάς μου, καὶ ἐγὼ ποιήσω οὕτως ὑμῖν.
καὶ ἐπιστήσω ἐφ' ὑμᾶς τὴν ἀπορίαν, τήν τε ψώραν καὶ τὸν ἴκτερον
σφακελίζοντας τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ τὴν ψυχὴν ὑμῶν ἐκτή-
κουσαν. καὶ σπερεῖτε διακενῆς τὰ σπέρματα ὑμῶν, καὶ ἔδονται
οἱ ὑπεναντίοι ὑμῶν. καὶ ἐπιστήσω τὸ πρόσωπόν μου ἐφ' ὑμᾶς, καὶ
πεσεῖσθε ἐναντίον τῶν ἐχθρῶν ὑμῶν. καὶ διώξονται ὑμᾶς οἱ μισοῦν-
τες ὑμᾶς, καὶ φεύξεσθε οὐδενὸς διώκοντος ὑμᾶς. καὶ ἐὰν ἕως
τούτου μὴ ὑπακούσητέ μου, προσθήσω παιδεῦσαι ὑμᾶς
πληγαῖς ἑπτάκις ἐπὶ ταῖς ἁμαρτίαις ὑμῶν. καὶ συντρίψω τὴν
ὕβριν τῆς ὑπερηφανίας ὑμῶν. καὶ θήσω τὸν οὐρανὸν ὑμῖν
ὡσεὶ σιδηροῦν, καὶ τὴν γῆν ὡς χαλκῆν. καὶ ἔσται εἰς κενὸν ἡ ἰσχὺς
ὑμῶν.